UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Cytherio Sabelliano. 138.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Κυθηρείῳ σαβελλιανῷ. ρλη.

Οὐκ ἔστιν, ὡς ἔγραψας, ἰδεῖν τὸ ἐν γραφῇ κρυπτόμενον φῶς, δι' ὧν ἐδήλωσας· ἀλλὰ μᾶλλον τυφλώττεις πρὸς τὴν αἴγλην τὴν ἐξ αὐτῆς ἀστράπτουσαν. τὸ γὰρ εἰπεῖν μίαν εἶναι φαινομένην ἐν αὐτῇ πατρὸς καὶ υἱοῦ τὴν ὑπόστασιν, μεγάλης εἶναι ἀνοίας, μᾶλλον δὲ ἐμβροντησίας. εἰ γὰρ προσέχοις ἀκριβῶς τῇ ἀσφαλείᾳ τῶν γεγραμμένων, εὑρήσεις τὸ ἀπλανὲς τοῦ μυστηρίου, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν εἰρῆσθαι, οὐκ, Ἐγὼ καὶ ὁ πατὴρ ἕν εἰμι. τὸ τοίνυν ἓν τῆς μιᾶς οὐσίας δηλωτικόν. τὸ ἐσμὲν τῶν δύο ὑποστάσεων σημαντικόν.

Cytherio Sabelliano. 138.

Lux illa, inquis, quæ in ſcriptura deliteſcit, per ea, quæ expoſuiſti, cerni non poteſt. Imò verò ipſe ad ſplendorem ex ea rutilantem caligas. Nam quod ais vnam Patris & Filij perſonam in ea eſſe videri, magnæ ſtoliditatis, imò ſtuporis ac delirij eſt. Si enim ad eorum, quæ ſcripta ſunt, cautionem & ſecuritatem diligenter animum adiicias, myſterij certitudinem ab omni errore liberam reperies. Ego enim & Pater meus vnum ſumus, dictum eſt: non, ego & Pater vnum ſum. Itaque vox hæc, *vnum* vnam eſſentiã indicat: illa autem, *ſumus*, duas perſonas eſſe ſignificat.

Aduerſus Sabellianos. *Ioan. 10.*

Θέωνι. ρλθ.

Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, Φιλιππησίοις γράφει ὁ θεῖος ἀπόστολος, ἀνθρώποις καὶ δεισιδαίμοσι καὶ τῶν ἑλληνικῶν δογμάτων ἑλλήνων προμάχοις καὶ φύλαξι, καὶ ἐκ τῆς πρὸς ἐκεῖνα σχολῆς ἀπροσδέκτως πρὸς τὸ κήρυγμα ἔχουσι τοῦ εὐαγγελίου. ἐπειδὴ γὰρ ἔμαθον ἑλληνίζοντες τὸν θεὸν αὐτῶν καὶ ὕπατον γεγονότα ἐκτεμόντα τῶν γεννητικῶν ὀργάνων τὸν ἑαυτοῦ πατέρα, δέει ὑπάρξεως ἑτέρων υἱῶν, καὶ τῆς βασιλείας κοινωνῶν, καὶ ἁρπαγὰς θεότητος καὶ ἔρεις καὶ πολέμους περὶ ταύτης πολλούς, ἠπίστουν εἰ υἱὸς τοῦ θεοῦ δεῦρο ἐπιφοιτήσας σεσάρκωται καταλιπὼν τὰ οὐράνια, καὶ μὴ δεδιὼς τινα τοῦ κράτους μετάθεσιν. ταύτην τοίνυν αὐτοῖς τὴν ἄγνοιαν, καὶ μᾶλλον ἄνοιαν, ὁ θεῖος ἄνθρωπος καὶ τῶν ἀπορρήτων διδάσκαλος διορθούμενος φησι, τοῦτο φρονεῖσθε ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, τουτέστιν, ἣν ἥρπασε θεότητα, καὶ βασιλείαν, ἀλλ' ἔμφυτον ἔχε πρὸ τῶν αἰώνων, οὐδὲ ἀφαιρεθῆναι ὑπέλαβεν, ἀλλὰ διὰ τὸ τῆς

Theoni. 139.

Non rapinam arbitratus eſt eſſe ſe æqualem Deo, inquit Apoſtolus ad Philippenſes ſcribens, hoc eſt ad homines ſuperſtitioſos, & Ethnicorum dogmatum propugnatores & cuſtodes, ac propter otium in illis collocatum ſic affectos, vt euangelij prædicationem minimè admittere vellent. Quoniam enim cùm Gentiles eſſent, ſupremum Deum ſuum patri ſuo eas partes, quæ ad gignendum deſtinatæ ſunt, præcidiſſe didicerant, illud videlicet metuentem, ne alij filij exiſterent, regníque ſocij & conſortes, ac diuinitatis arreptiones, & diſſidia de ea ac bella orirentur, addubitabant an Dei filius, relictis cæli ſedibus, nec vllam regni atque imperij commutationem veritus, ad nos veniens carnem ſuſcepiſſet. Huic igitur eorum ignorantiæ, vel potiùs amentiæ, diuinus vir atque arcanarum rerum doctor medicinam afferens, his verbis vtitur: Hoc ſentite in vobis, quod & in Chriſto Ieſu, qui, cùm in forma Dei eſſet, non rapinam arbitratus eſt eſſe ſe æqualem Deo, ſed exinaniuit ſemetipſum, formam ſerui accipiens. Quod perinde eſt ac ſi diceret: Deitatem ac regnum haudquaquam per vim eripuit, verùm ante ſæcula innatum habuit. Neque item, vt id ſibi eriperetur, ſubti-

Philip. 2. *Philip. 2.*